ἄθυρσοι δ᾽ οἷά νιν δραμόντε Βάκχαι
σκύμνον ἐν χεροῖν ὀρείαν
ξυνήρπασαν· πάλιν δὲ τὰν Διὸς κόραν
ἐπὶ σφαγὰν ἔτεινον· ἃ δ᾽ ἐκ θαλάμων
ἐγένετο διαπρὸ δωμάτων ἄφαντος,
ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς καὶ νύξ,
ἤτοι φαρμάκοισιν ἢ μάγων
τέχναισιν ἢ θεῶν κλοπαῖς.
τὰ δ᾽ ὕστερ᾽ οὐκέτ᾽ οἶδα· δρα-
πέτην γὰρ ἐξέκλεπτον ἐκ δόμων πόδα.
πολύπονα δὲ πολύπονα πάθεα
Μενέλαος ἀνασχόμενος ἀνόνητον ἀπὸ
Τροίας ἔλαβε τὸν Ἑλένας γάμον.

ΧΟ. καὶ μὴν ἀμείβει καινὸν ἐκ καινῶν τόδε·
ξιφηφόρον γὰρ εἰσορῶ πρὸ δωμάτων
βαίνοντ᾽ Ὀρέστην ἐπτοημένῳ ποδί.

ΟΡ. ποῦ ᾽στιν οὗτος ὃς πέφευγεν ἐκ δόμων τοὐμὸν ξίφος;

ΦΡ. προσκυνῶ σ᾽, ἄναξ, νόμοισι βαρβάροισι προσπίτνων.

ΟΡ. οὐκ ἐν Ἰλίῳ τάδ᾽ ἐστίν, ἀλλ᾽ ἐν Ἀργείᾳ χθονί.

ΦΡ. πανταχοῦ ζῆν ἡδὺ μᾶλλον ἢ θανεῖν τοῖς σώφροσιν.

ΟΡ. οὔτι που κραυγὴν ἔθηκας Μενέλεῳ βοηδρομεῖν;

ΦΡ. σοὶ μὲν οὖν ἔγωγ᾽ ἀμύνειν· ἀξιώτερος γὰρ εἶ.

ΟΡ. ἐνδίκως ἡ Τυνδάρειος ἆρα παῖς διώλετο;

ΦΡ. ἐνδικώτατ᾽, εἴ γε λαιμοὺς εἶχε τριπτύχους θανεῖν.

ΟΡ. δειλίᾳ γλώσσῃ χαρίζει, τἄνδον οὐχ οὕτω φρονῶν.

ΦΡ. οὐ γάρ, ἥτις Ἑλλάδ᾽ αὐτοῖς Φρυξὶ διελυμήνατο;

ΟΡ. ὄμοσον· εἰ δὲ μή, κτενῶ σε· μὴ λέγειν ἐμὴν χάριν.

ΦΡ. τὴν ἐμὴν ψυχὴν κατώμοσ᾽, ἣν ἂν εὐορκοῖμ᾽ ἐγώ.

---

1492. δραμόντες C 1493. ὀρείαν om. C 1495. δὴ πρό C 1498. τέχναισιν] recentiores tres, τέχναις libri. 1499. ὕστερον C οὐ κάτοιδα AF οὐκέτ᾽ οἶδα ceteri. 1504. ξ. γὰρ ἐκπροδομάτων εἰσορῶ C 1511. οὖν om. C 1516. κτανῶ fere libri.